ἐκδ. I. Thurn, CFHB 36, Berlin – New York 2000



ἐκκλησίαν ἐν Ἀλεξανδρείᾳ ***· ἥτις λέγεται ἕως τοῦ νῦν ἡ Θεοδοσίου· ἐφίλει γὰρ Κύριλλον τὸν ἐπίσκοπον Ἀλεξανδρείας.

12 Κατ' ἐκεῖνον δὲ τὸν καιρὸν παρρησίαν λαβόντες ὑπὸ τοῦ ἐπισκόπου οἱ Ἀλεξανδρεῖς ἔκαυσαν φρυγάνοις αὐθεντήσαντες Ὑπατίαν τὴν περιβόητον φιλόσοφον, περὶ ἧς μεγάλα ἐφέρετο· ἦν δὲ παλαιὰ γυνή. ἐν δὲ τῇ αὐτοῦ βασιλείᾳ ἔπαθεν ὑπὸ θεομηνίας ἡ Κρήτη νῆσος *μεγάλη*, ἥτις εἶχεν ἐν μέσῳ θαλάσσης ὑπαρχούσας πόλεις ἑκατόν, καθὼς περὶ τῆς αὐτῆς νήσου ἐξέθετο ὁ σοφώτατος Εὐριπίδης. ἔπαθεν δὲ καὶ πᾶσα ἡ περίχωρος αὐτῆς. ἔπεσε δὲ ἐν τῇ αὐτῇ Κρήτῃ τὸ δημόσιον τῆς μητροπόλεως Γορτύνης τὸ κτισθὲν ὑπὸ τοῦ Καίσαρος Ἰουλίου, ἔχον ἰδιάζοντα θόλα ιβ' *κατὰ τὸν ἀριθμὸν τῶν μηνῶν*, καὶ ἐν ἑκάστῳ μηνὶ μία διοίκησις θόλων παρεῖχεν. ἦν δὲ τὸ | δημόσιον τέλειον, ὑπὸ δὲ ἑνὸς καμινίου μόνου τὰ δώδεκα θόλα ὑπεκαίοντο· καὶ ἦν ἰδεῖν ξένον θέαμα. καὶ ἀνήγειρεν ἓξ αὐτῶν ὁ βασιλεὺς Θεοδόσιος, ὅ ἐστι δύο σχήματα τοῦ δημοσίου, θερινοῦ καὶ χειμερινοῦ, τῶν κτητόρων τῆς αὐτῆς πόλεως αἰτησάντων αὐτόν. παρέσχεν δὲ καὶ λόγῳ κτισμάτων ὑπὲρ τῆς πόλεως καὶ χώρας πολλά.

13 *** Ἔκτισε δὲ καὶ ἐν Ἀντιοχείᾳ τῇ μεγάλῃ βασιλικὴν διάφωτον μεγάλην, πάνυ εὐπρεπῆ, κατέναντι οὖσαν τῶν λεγομένων Ἄθλων, ἥντινα οἱ Ἀντιοχεῖς καλοῦσι τὴν Ἀνατολίου, διότι Ἀνατόλιος στρατηλάτης ἐπέστη τῷ κτίσματι, λαβὼν τὰ χρήματα ἀπὸ τοῦ βασιλέως, ὅτε ἐγένετο παρ' αὐτοῦ στρατηλάτης ἀνατολῆς· διὰ τοῦτο καὶ ὅτε ἐπλήρωσε τὸ αὐτὸ ἔργον τῆς βασιλικῆς, ἐπέγραψεν ἐν αὐτῇ διὰ χρυσέου

82–281,2: El 160,21–24 hunc habent textum:

*1 Ὅτι κτίζοντος τοῦ μικροῦ Θεοδοσίου ἐν Ἀντιοχείᾳ διάφορα κτίσματα

cap. 12 Ioann. Nic. LXXXIV, 45; LXXXVII    cap. 13 Euagr. 1,18 (27,18–28,3)

cap. 12 O Sl    cap. 13 et cap. 14 O El 160,21–24 Sl

**66** post Ἀλεξανδρείᾳ verba στάδιον ἔχουσαν add. Sl    **67** ἐπίσκοπον O: ἀρχιεπίσκοπον Sl    **69** Ὑπατείαν O: corr. Dind.    **71** μεγάλη ex Sl addidi    **76** κατὰ – μηνῶν ex Sl addidi    μία διοίκησις O: μίαν διοίκησιν ci. Chilm.: totam sententiam καὶ καθ' ἕκαστον μῆνα φόρους ἔδοσαν vert. Sl    **78** ἓξ Chilm.: ἐξ O    **82** Euagr. 27,18–31 (cf. Niceph. Call. 14,46) hic, fort. e vero Malala, inser. Κατὰ τούτους τοὺς χρόνους Μεμνόνιος καὶ Ζωΐλος καὶ Κάλλιστος παρὰ Θεοδοσίου κατὰ τὴν Ἀντιοχέων ἄρξοντες ἐξεπέμφθησαν, τὴν ἡμετέραν θρησκείαν διαπρέποντες. καὶ Μεμνόνιος μὲν εὐπρεπῶς τε καὶ περιέργως τὸ καὶ πρὸς ἡμῶν Ψηφίον ὀνομαζόμενον ἐξ ἐδάφους ἀνοικοδομεῖ, ὑπαίθριον αὐλὴν κατὰ τὸ μέσον ἐάσας· Ζωΐλος δὲ τὴν βασίλειον στοὰν τὴν πρὸς τὸ νότιον τῆς Ῥουφίνου πλευρόν, μέχρις ἡμῶν τὴν τούτου προσηγορίαν διαδεξαμένην, εἰ καὶ τὰς οἰκοδομίας ἐκ τῶν ποικίλων παθημάτων ἐνήλλαξεν. ἀτὰρ καὶ Κάλλιστος μεγαλοπρεπῆ τε καὶ περιφανῆ οἰκοδομίαν ἀνίστη, ἣν Καλλίστου στοὰν οἵ τε παλαιοὶ οἵ τε νῦν ὀνομάζομεν, πρὸ τῶν ἑδῶν ἃ τῇ δίκῃ ἱδρύεται, εὐθὺ τοῦ φόρου οὗ ἡ περικαλλὴς οἰκία, τῶν στρατηγῶν τὰ καταγώγια.



μουσαρίου ταῦτα· 'ἔργον Θεοδοσίου βασιλέως· ὥσπερ ἄξιον.' ἐπάνω δὲ ἦσαν βασιλεῖς δύο Θεοδόσιος καὶ ὁ συγγενὴς αὐτοῦ Βαλεντινιανὸς ὁ ἐν Ῥώμῃ βασιλεύων. ὁ δὲ αὐτὸς Θεοδόσιος ἐχρύσωσε καὶ τῆς Δαφνητικῆς πόρτας δύο θύρας τὰς χαλκᾶς καθ' ὁμοιότητα ἧς ἐχρύσωσε πόρτας ἐν Κωνσταντινουπόλει, ἥτις καλεῖται ἕως ἄρτι ἡ χρυσέα πόρτα· ὁμοίως δὲ καὶ ἐν Ἀντιοχείᾳ τῇ μεγάλῃ καλεῖται ἕως τῆς νῦν ἡ χρυσέα πόρτα, χρυσωθεῖσα διὰ Νυμφιδιανοῦ ὑπατικοῦ.

14 Ἐν ᾧ χρόνῳ ἀπηγγέλθη ὁ θάνατος Βαλεντινιανοῦ βασιλέως Ῥώμης, σφαγέντος ὑπὸ Μαξίμου συγκλητικοῦ καὶ κρατήσαντος καὶ βασιλεύσαντος ἐν Ῥώμῃ. |

15 Ὁ δὲ αὐτὸς Θεοδόσιος βασιλεὺς ἐποίησεν κακῶς Ἀντιόχῳ τῷ πραιποσίτῳ καὶ πατρικίῳ δυναμένῳ ἐν τῷ παλατίῳ καὶ κρατήσαντι τῶν πραγμάτων. ἦν γὰρ καὶ ἀναθρεψάμενος τὸν αὐτὸν Θεοδόσιον ἐν τῇ ζωῇ τοῦ αὐτοῦ πατρός, ὡς κουβικουλάριος καὶ διοικῶν ἀπὸ τοῦ αὐτοῦ πατρὸς Ἀρκαδίου τὴν πολιτείαν Ῥωμαίων. καὶ ἔμεινεν μετὰ τὸ πληρῶσαι αὐτὸν ὡς πατρίκιος καταυθεντῶν τοῦ αὐτοῦ Θεοδοσίου. καὶ ἀγανακτήσας κατ' αὐτοῦ ἐδήμευσεν αὐτὸν καὶ κουρεύσας ἐποίησε παπᾶν τῆς μεγάλης ἐκκλησίας Κωνσταντινουπόλεως, ποιήσας διάταξιν μὴ εἰσέρχεσθαι εἰς ἀξίας συγκλητικῶν ἢ πατρικίων τοὺς εὐνούχους κουβικουλαρίους μετὰ τὸ πλήρωμα τῆς αὐτῶν στρατείας, τουτέστι τοὺς ἀπὸ πραιποσίτων παλατίου. καὶ ἐτελεύτα ὁ αὐτὸς Ἀντίοχος, ὢν πρεσβύτερος.

16 Ὁ δὲ αὐτὸς βασιλεὺς προεβάλετο ἔπαρχον πραιτωρίων καὶ ἔπαρχον πόλεως τὸν πατρίκιον Κῦρον τὸν φιλόσοφον, ἄνδρα σοφώτατον ἐν

*2 ηγγέλθη ὁ θάνατος Βαλεντινιανοῦ βασιλέως Ῥωμαίων σφαγέντος ὑπὸ Μαξίμου συγκλητικοῦ καὶ κρατήσαντος καὶ βασιλεύσαντος ἐν Ῥώμῃ.

cap. 14 Euagr. 2,7 (54,6–10)    Ioann. Nic. LXXXIII, 14    Chron. Pasch. 591,19–592,1    Theoph. 108,22–25    Theod. Scut. 83,24–25    Cedr. 605,21–24    Zon. 3,119,14–17    Xanth., Hist. eccl., PG 147,36 A–37 D    cap. 15 Theoph. 96,18–21    Suda θ 145 Θεοδόσιος    Priscus, fragm. 7 Blockley    cap. 16 Chron. Pasch. 588,6–589,5    Theoph. 96,31–97,15    Leo Gramm. 110,16–23    Suda 2,695,10–15. 3,220,14–15    Ioann. Nic. LXXXIV, 48–58    Cedr. 598,22–599,5    Theod. Scut. 76,1–9    Zon. 3,106,11–19    Priscus, fragm. 8 Blockley

cap. 15 O Sl    cap. 16 O Sl

**91** χαλκὰς O: corr. Chilm.    **1** Μαξίμου O Euagr. 54,9: Μαξιμιανοῦ Sl    **5** τῶν πραγμάτων O: τοῦ παλατίου Sl    **7–8** μετὰ – αὐτὸν O: μετὰ τὴν τοῦ Θεοδοσίου πατρὸς τελευτὴν Sl    **13** πραιποσιτῶν O: corr. Dind.

πᾶσι. καὶ ἦρξεν ἔχων τὰς δύο ἀρχὰς ἔτη τέσσαρα, προϊὼν εἰς τὴν καρούχαν τοῦ ἐπάρχου τῆς πόλεως καὶ φροντίζων τῶν κτισμάτων καὶ ἀνανεώσας πᾶσαν Κωνσταντινούπολιν· ἦν γὰρ καθαριώτατος. περὶ οὗ ἔκραξαν οἱ Βυζάντιοι εἰς τὸ ἱππικὸν πᾶσαν τὴν ἡμέραν θεωροῦντος Θεοδοσίου ταῦτα· 'Κωνσταντῖνος ἔκτισεν, Κῦρος ἀνενέωσεν· αὐτὸν ἐπὶ τόπον, Αὔγουστε.' Κῦρος δὲ ἐκπλαγεὶς ἀπεφθέγξατο· 'οὐκ ἀρέσκει μοι τύχη πολλὰ | γελῶσα.' καὶ ἐχόλεσεν ὁ βασιλεύς, ὅτι ἔκραξαν περὶ Κύρου καὶ μετὰ Κωνσταντίνου αὐτὸν ἔκραξαν, ὡς ἀνανεώσαντα τὴν πόλιν· καὶ κατεσκευάσθη λοιπὸν καὶ ἐπλάκη ὡς Ἕλλην ὁ αὐτὸς Κῦρος, καὶ ἐδημεύθη παυθεὶς τῆς ἀρχῆς. καὶ προσφυγὼν ἐγένετο καὶ αὐτὸς παπᾶς, καὶ ἐπέμφθη εἰς τὴν Φρυγίαν, ἐπίσκοπος γενάμενος εἰς τὸ λεγόμενον Κοτυάειον. ἦσαν γὰρ οἱ αὐτοὶ Κοτυαεῖς πολῖται φονεύσαντες ἐπισκόπους τέσσαρας· τὸ δὲ Κοτυάειον πόλις ἐστὶ τῆς Φρυγίας ἐπαρχίας Σαλουταρίας. καὶ κατέλαβε τὴν Κοτυαέων πόλιν ἐπίσκοπος ὢν ὁ αὐτὸς Κῦρος πρὸ τῶν ἁγίων γενεθλίων. γνόντες δὲ οἱ τῆς πόλεως κληρικοὶ καὶ πολῖται, ὅτι ὡς Ἕλληνα ἔπεμψεν αὐτὸν ὁ βασιλεύς, ἵνα ἀποθάνῃ, ἐν τοῖς ἁγίοις γενεθλίοις ἐξαίφνης οὖν ἐν τῇ ἐκκλησίᾳ ἔκραξαν αὐτῷ προσομιλῆσαι. καὶ ἀναγκασθεὶς ἀνῆλθεν ὁμιλῆσαι· καὶ μετὰ τὸ δοῦναι εἰρήνην προσωμίλησεν οὕτως· 'ἀδελφοί, ἡ γέννησις τοῦ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ σιωπῇ τιμάσθω, ὅτι ἀκοῇ μόνῃ συνελήφθη ἐν τῇ ἁγίᾳ παρθένῳ· λόγος *γὰρ ἦν·* αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας· ἀμήν.' καὶ εὐφημηθεὶς κατῆλθεν, καὶ ἔμεινεν ἐκεῖ ἕως θανάτου.

17 Καὶ προηγάγετο ἔπαρχον Ἀντίοχον τὸν Χούζωνα, τὸν ἔγγονον Ἀντιόχου τοῦ Χούζωνος τοῦ μεγάλου, ὃς παρέσχεν ἐν Ἀντιοχείᾳ τῇ

cap. 17 O Sl

**17–18** προϊὼν – πόλεως OSl: καὶ προῄει μὲν ὡς ἔπαρχος πραιτωρίων εἰς τὴν καροῦχαν τῶν ἐπάρχων· ἀνεχώρει δὲ καθήμενος εἰς τὴν καροῦχαν τοῦ ἐπάρχου τῆς πόλεως Chron. Pasch. 588,7–9 καρούχαν O: acc. corr. perperam Chilm. **19** Κωνσταντινουπόλιν O: corr. Chilm. post καθαριώτατος verba καὶ αὐτὸς ἐπενόησεν τὰ ἑσπερινὰ φῶτα ὅπτεσθαι εἰς τὰ ἐργαστήρια, ὁμοίως καὶ τὰ νυκτερινά add. Chron. Pasch. 588,11–12 **21–22** αὐτὸν – Αὔγουστε OSl: secl. Chilm.: om. Chron. Pasch. Theoph. Leo Gramm. Suda **22** ἀρέσκει Chilm.: ἀρέσκεις O **23** ἐχόλεσεν O Chron. Pasch. 588,14: ἐχόλησεν ci. Chilm. **25** post Κῦρος add. πατρίκιος Sl **27** Φρυγίαν O (cf. Suda 2,695,15; 3,220,19): om. Theod. Scut.: Ἀσίαν Sl Chron. Pasch. 588,16 Theoph. 97,8 Ioann. Nic. LXXXIV,53 γενάμενος O: γενόμενος ci. Chilm. Κοτυάειον O (cf. Suda 2,695,15; 3,220,19 Theod. Scut. 76,10): Σμύρναν Sl (cf. Chron. Pasch. 588,16 Theoph. 97,8 Leo Gramm. 110,23 Cedr. 599,5 Ioann. Nic. LXXXIV,53; ad totum loc. cf. H. Grégoire, in: Anatolian studies presented to W. M. Ramsey, Manchester 1923, p. 154–158 et A. Cameron, in: Yale classical studies 27 (1982) 225); videlicet Malalas habuit duo versiones **28** Κοτυαεῖς O: corr. Dind.: οἱ τῆς πόλεως ἐκείνης Sl Chron. Pasch. 588,16 **29** τὸ δὲ Κοτυάειον – Σαλουταρίας O: ἡ δὲ Σμύρνα πόλις ἐστὶ τῆς Λυδίας ἐπαρχίας ὑπὸ τῷ τῆς Ἀσίας ἀνθυπάτῳ Sl Κοτυάειον O: Σμύρναν Sl **36–37** λόγος γὰρ ἦν Sl: λόγος γὰρ ἦν Chron. Pasch. 589,3: cf. ... συνελήφθη ἐν τῇ ἁγίᾳ παρθένῳ ὁ τοῦ θεοῦ λόγος Theoph. 97,13: λόγῳ O: ⟨τῷ⟩ λόγῳ ci. Bury, A hist. of the later Rom. Emp., London 1889, p. 128



μεγάλῃ προσθήκην χρημάτων εἰς τὸ ἱππικὸν καὶ τὰ Ὀλύμπια καὶ τὸν Μαϊουμᾶν.

18 Καὶ μετ' αὐτὸν | προήχθη ἔπαρχος Ῥουφῖνος ὁ συγγενὴς τοῦ αὐτοῦ βασιλέως· καὶ ἐφονεύθη ὡς μελετήσας τυραννίδα.

19 Ὁ δὲ αὐτὸς βασιλεὺς Θεοδόσιος ἐφίλει ἔρωτι Χρυσάφιον τὸν κουβικουλάριον, τὸν λεγόμενον Ζτομμᾶν, ὡς πάνυ εὐπρεπῆ ὄντα· καὶ παρεῖχεν αὐτῷ πολλὰ ὅσα ἂν ᾐτήσατο αὐτόν, καὶ ἐδύνατο παρ' αὐτῷ παρρησίαν ἔχων καὶ κατῆρχε πάντων τῶν πραγμάτων καὶ ἦγε καὶ ἥρπαζε πάντα· ἦν γὰρ πάτρων καὶ προστάτης τῶν Πρασίνων πανταχοῦ.

20 Ἐπὶ δὲ τῆς αὐτοῦ βασιλείας ἔπαθεν ὑπὸ θεομηνίας Νικομήδεια, μητρόπολις τῆς Βιθυνίας, τὸ πέμπτον αὐτῆς πάθος ἑσπέρας βαθείας καὶ

43–288,11: Tusc. fragm. 3, p. 17–22 Mai, hunc habet textum:

ὁ συγγενὴς βασιλέως καὶ ἐφονεύθη ὡς μελετήσας τυραννίδα.

Ὁ δὲ αὐτὸς Θεοδόσιος ἐφίλει τὸν Χρυσάφιον τὸν κουβικουλάριον, τὸν λεγόμενον Στούμμαν, ὡς πάνυ εὐπρεπῆ ὄντα, καὶ παρεῖχεν αὐτῷ πολλὰ ὅσα ἂν ᾔτησεν αὐτὸν καὶ ἠδύνατο παρ' αὐτῷ παρρησίαν ἔχων, καὶ κατεῖχεν τῶν πραγμάτων, (πρὸς) ἑαυτὸν ἄγων καὶ ἁρπάζων πάντα· ἦν γὰρ πάτρων καὶ προστάτης τῶν Πρασίνων πανταχοῦ.

Ἐπὶ δὲ τῆς βασιλείας τοῦ αὐτοῦ Θεοδοσίου ἔπαθεν αὐτῇ νεομηνίᾳ Νικομήδεια μητρόπολις τῆς Βιθυνίας τὸ πέμπτον αὐτῆς πάθος, ἑσπέρας

45–49: EV 162,25–163,3 hunc habent textum:

Ὅτι Θεοδόσιος ὁ μικρὸς ἐφίλει ἔρωτι Χρυσάφιον τὸν κουβικουλάριον τὸν λεγόμενον Τζούμμαν, ὡς πάνυ εὐπρεπῆ ὄντα, καὶ παρεῖχεν αὐτῷ πολλά, ὅσα ἂν ᾐτήσατο αὐτόν, καὶ ἐδύνατο παρ' αὐτῷ παρρησίαν ἔχων καὶ κατεῖχε τῶν πραγμάτων παιτῖτα αὐτὸν αἰτῶν καὶ ἁρπάζων πάντας· ἦν γὰρ πάτρων καὶ προστάτης τῶν Πρασίνων πανταχοῦ.

cap. 19 Suda π 898 Παιτῖτα Theoph. 100,16. 103,29–33 Cedr. 601,15–17 Theod. Scut. 76,17. 78,25–29 Zon. 3,108,13

cap. 18 O Tusc Sl cap. 19 O Tusc EV 162,25–163,3 Sl cap. 20 O Tusc Sl

**43** Ῥουφίνος O: corr. Chilm. τοῦ αὐτοῦ O: om. TuscSl **45** ἔρωτι OSl: τὸν Tusc Χρυσάφιον OTusc: Χρυσάφιλον Sl **46** Ζτομμᾶν O: Ζτούμμαν Tusc: Τζούμμαν EV **47–48** ἠδύνατο – ἔχων TuscEV (ἐδύν- EV) Sl: εἶχε παρρησίαν πρὸς αὐτὸν O κατῆρχε τῶν πραγμάτων O: κατεῖχεν τῶν πραγμάτων (τοῦ παλατίου Sl) TuscSl: κατεῖχε τῶν πραγμάτων παιτῖτα EV cf. Suda 4,78,12 **48** ἦγε καὶ Sl: ἄγων καὶ Tusc: om. O **49** πανταχοῦ TuscEVSl: om. O **50** αὐτοῦ O: om. TusSl post βασιλείας verba τοῦ αὐτοῦ Θεοδοσίου add. Tusc (cf. Sl)

éd. L. Dindorf, Bonn 1831



Ἐν αὐτῷ δὲ τῷ χρόνῳ διεβλήθησάν τινες τῶν ἐπισκόπων
ἀπὸ διαφόρων ἐπαρχιῶν, ὡς κακῶς βιοῦντες περὶ τὰ σωματι-
V 58 κὰ καὶ ἀρσενοκοιτοῦντες. ἐν οἷς ἦν Ἡσαΐας ὁ τῆς Ῥόδου ὁ
ἀπὸ νυκτεπάρχων Κωνσταντινουπόλεως, ὁμοίως δὲ καὶ ὁ ἀπὸ
Διὸς πόλεως τῆς Θρᾴκης, ὀνόματι Ἀλέξανδρος. οἵτινες κατὰ
θείαν πρόσταξιν ἠνέχθησαν ἐν Κωνσταντινουπόλει, καὶ ἐξετα-
σθέντες καθῃρέθησαν ὑπὸ Βίκτωρος ἐπάρχου πόλεως, ὅστις
ἐτιμωρήσατο αὐτούς, καὶ τὸν μὲν Ἡσαΐαν πικρῶς βασανίσας
ἐξώρισε, τὸν δὲ Ἀλέξανδρον καυλοτομήσας ἐπόμπευσεν εἰς
O 168 κραβαταρίαν· καὶ εὐθέως προσέταξεν ὁ αὐτὸς βασιλεὺς τοὺς
ἐν παιδεραστίαις εὑρισκομένους καυλοτομεῖσθαι. καὶ συνεσχέ-
θησαν ἐν αὐτῷ τῷ καιρῷ πολλοὶ ἀνδροκοῖται, καὶ καυλοτομη-
θέντες ἀπέθανον. καὶ ἐγένετο ἔκτοτε φόβος κατὰ τῶν νοσούντων
τὴν τῶν ἀῤῥένων ἐπιθυμίαν.

B Ἐν αὐτῷ δὲ τῷ χρόνῳ ἔπαθεν ὑπὸ θεομηνίας ἐν τῇ Μυσίᾳ
Πομπηιούπολις· τῆς γὰρ κινήσεως γενομένης ἐξαίφνης ἐσχί-
σθη ἡ γῆ καὶ ἐχαώθη τὸ ἥμισυ τῆς πόλεως μετὰ τῶν οἰκούντων,
καὶ ἦσαν ὑπὸ τὴν γῆν, καὶ τὸ ἦχος αὐτῶν ἐφέρετο τοῖς περισω-
θεῖσι. καὶ πολλὰ ἐφιλοτιμήσατο ὁ αὐτὸς βασιλεὺς εἰς τὴν ἐκχόϊσιν

5. Ῥόδου καὶ ὁ Ox. 6. ὁ ἀπὸ] Immo ὁ. 17. Πομπειούπολις Ox. 21. ἐκχόϊσιν] ἐκχόησιν Ox. hic et 61. B. V. vol. I. p. 95. B. Monitum de vitio etiam ab editoribus Stephani c. 10558. D.

saulum Cisternae Basilicae, Adriani aquas in eam immittere volens. Urbis etiam Aquaeductum renovavit.

Iisdem temporibus diversarum provinciarum Episcopi libidinis nefandae cumque Masculis impurissimi concubitus rei peragebantur: inter quos Isaias Rhodi, Constantinopolitanus olim Nycteparchus, et Alexander Diospolis in Thracia Episcopi fuerunt. Hi itaque divino Imperatoris ex Edicto Constantinopolim adducti, post examen initum, a Victore Urbis Praefecto gradu suo deturbati, poenas dederunt. Et Isaias quidem, graves cruciatus perpessus, in exilium missus est. Alexander vero, veretro amputato, lecticae impositus, populo in spectaculum datus est. Quin et Legem quoque dein Imperator tulit, Libidinis Masculae reos quoscunque virilibus mutilari. Multique eodem tempore Masculi concubitus rei deprensi sunt, qui virilibus exsecti perierunt. Metus hinc malo hoc laborantibus incussus est.

Circa haec tempora divinam iram perpessa est Pompeiopolis, urbs Mysiae. Ex tremoribus enim terra subito dehiscente, dimidia civitas una cum incolis absorpta est: obrutorum interim clamoribus ad superstitum